13/07/2020

Σύναξη του Αρχαγγέλου Γαβριήλ

/ Ορθόδοξες Προβολές

Η Σύναξη του Αρχαγγέλου Γαβριήλ τιμάται από την Εκκλησία μας σήμερα 13 Ιουλίου

Τῶν σῶν ἀγαθῶν ὥσπερ οὐκ ἔχω κόρον,
Ὡς οὐδ’ ἑορτῶν, Γαβριὴλ Ἄρχων Νόων.
Τῇ δεκάτῃ δὲ τρίτῃ συναγήοχεν ὧδε Γαβριήλ.

Να, συν τοις άλλοις, πως η Εκκλησία υμνεί τον αρχάγγελο Γαβριήλ σ’ αυτή τη γιορτή του:

«Θρόνω παριστάμενος τῆς τρισηλίου Θεότητας καὶ πλουσίως λαμπόμενος, ταὶς θείαις λαμπρότησι, ταὶς ἐκπεμπομέναις, ἀπαύστως ἐκεῖθεν, τοὺς ἐπὶ γῆς χαρμονικῶς, χοροστατοῦντας καὶ εὐφημούντας σέ, παθῶν ἀχλύος λύτρωσαι, καὶ φωτισμῶ καταλάμπρυνον, Γαβριὴλ Ἀρχιστράτηγε, πρεσβευτὰ τῶν ψυχῶν ἡμῶν.

Τῶν ἀσωμάτων λειτουργῶν ὡς πρωτεύων, τὸ πρὸ αἰώνων ὁρισθὲν ὄντως μέγα, σὺ

Γαβριὴλ πεπίστευσαι μυστήριον, τόκον τὸν ἀπόρρητον, τῆς ἁγίας Παρθένου, Χαῖρε, προσφωνῶν αὕτη, ἡ κεχαριτωμένη. Χρεωστικῶς σὲ ὅθεν οἱ πιστοί, ἐν εὐφροσύνῃ ἀεὶ μακαρίζαμεν».

Για ποιον λόγο γίνεται μνεία την Συνάξεως του Αρχαγγέλου Γαβριήλ, δεν γνωρίζουμε. Ίσως να συνδέεται με κάποια ευεργεσία του Αρχαγγέλου που ποίησε αυτή την ημέρα στους Χριστιανούς ή να συνδέεται με το γεγονός ότι η Εκκλησία της Κωνσταντινουπόλεως ήθελε να δείξει με αυτή την εορτή την αφοσίωση της στον Αρχάγγελο Γαβριήλ και αυτό ίσως να έγινε περί τον 9ο μ.Χ. αιώνα.

Ἀπολυτίκιον
Ἦχος δ’. Ταχὺ προκατάλαβε.
Ὡς θεῖος Ἀρχάγγελος, τῶν νοερῶν στρατιῶν, Τριάδος τὴν ἔλλαμψιν, καθυποδέχη λαμπρῶς, Γαβριὴλ Ἀρχιστράτηγε, ὅθεν ἐκ πάσης βλάβης, καὶ παντοίας ἀνάγκης, σῷζε ἀπαρατρώτους, τοὺς πιστῶς σὲ τιμώντας, καὶ πόθω ἀνευφημούντας, τὰ σὰ θαυμάσια.

Ἕτερον Ἀπολυτίκιον
Ἦχος δ’.
Τῶν Οὐρανίων στρατιῶν Ἀρχιστράτηγε, δυσωποῦμέν σε ἀεὶ ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς σαῖς δεήσεσι τειχίσης ἡμᾶς, σκέπη τῶν πτερύγων τῆς ἀΰλου σου δόξης, φρουρῶν ἡμᾶς προσπίπτοντας, ἐκτενῶς καὶ βοῶντας, Ἐκ τῶν κινδύνων λύτρωσαι ἡμᾶς, ὡς Ταξιάρχης τῶν ἄνω Δυνάμεων.

Κοντάκιον
Ἦχος δ’. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.
Τῶν ἀσωμάτων λειτουργῶν ὡς πρωτεύων.τὸ πρὸ αἰώνων ὁρισθὲν ὄντως μέγα, σὺ Γαβριὴλ πεπίστευσαι μυστήριον, τόκον τὸν ἀπόρρητον, τῆς Ἁγίας Παρθένου, χαῖρε προσφωνῶν αὐτῇ, ἡ Κεχαριτωμένη. Χρεωστικῶς σε ὅθεν οἱ πιστοί, ἐν εὐφροσύνῃ, ἀεὶ μακαρίζομεν.

Μεγαλυνάριον
Τὶς ἀπαριθμήσει τὰς πρὸς ἡμᾶς, σοῦ εὐεργεσίας, Ἀρχιστράτηγε Γαβριήλ; σὺ γὰρ καθ’ ἑκάστην, ἐπιφοιτῶν τῷ κόσμῳ, τὰ κρείττω πᾶσι νέμεις· διὸ ὑμνοῦμέν σε.
Πηγή: saint.gr